**ἰωνικὴ συνθήκη**

Hermog. *de id.* I 6 (p. 251. 21 sqq. Rabe) συνθῆκαί γε μὴν σεμναὶ αἱ τῆς μὲν συγκρούσεως ἕνεκα τῶν φωνηέντων μὴ μικρολογούμεναι, τῷ δὲ ὅλῳ δακτυλικαί τε οὖσαι καὶ ἀναπαιστικαὶ παιωνικαί τε καὶ ἔστιν ὅτε ἰαμβικαὶ σπονδειακαί τε καὶ μᾶλλον· διὸ καὶ αἱ ἐξ ἐπιτρίτων ἁρμόττουσι τῷ σεμνῷ. τροχαικαὶ μέντοι καὶ ἰωνικαὶ ἐναντίαι σεμνότητι.

Syrian. in Hermog. *de id.* I 6 (I, p. 45. 16 sqq. Rabe) εἰ δὲ ἡ σπονδειακὴ συνθήκη μᾶλλον ἐπιπρέπει τῇ σεμνότητι διὰ τὸ πλῆθος τῶν μακρῶν, δηλονότι ἡ τροχαική τε καὶ ἄμφω αἱ ἰωνικαὶ διὰ τὴν συνέχειαν τῶν βραχειῶν ἀνεπιτήδειοι ... (p. 46. 5 sqq.) τροχαικαὶ μέντοι καὶ ἰωνικαὶ ἐναντίαι σεμνότητι (*cf. Hermogenis locum supra laudatum*)] ἄξιον ζητῆσαι, τί δήποτε τὰς ἰωνικὰς καὶ τροχαικὰς συνθήκας καίτοι πλείονας ἐχούσας μακρὰς ἀνεπιτηδειοτέρας ἔφησεν εἶναι τῶν παιωνικῶν τῶν πολλὰς ἐχουσῶν βραχείας. φαμὲν οὖν ὅτι ἡ παράθεσις τῶν ἴσων μακρῶν καὶ βραχειῶν ἐν ταῖς ἰωνικαῖς καὶ τροχαικαῖς πλέον κλᾷ τὸν ῥυθμὸν ἤπερ ἡ τῶν πλειόνων βραχειῶν ὁμόχρονος συνθήκη.

Anon. in Hermog. *de id.* I 6 (RhG VII 2, p. 981. 7 sqq. Walz) ἄξιον ζητῆσαι, τί δήποτε τὰς ἰωνικὰς καὶ τροχαικὰς συνθήκας, καίτοι πλείονας ἐχούσας μακράς, ἀνεπιτηδειοτέρας ἔφησεν (scil. ὁ Ἑρμογένης, *cf. locum supra laudatum*) εἶναι τῶν παιωνικῶν τῶν πολλὰς βραχείας ἐχουσῶν· φαμὲν οὖν, ὅτι ἡ παράθεσις τῶν ἴσων μακρῶν καὶ βραχειῶν ἐν ταῖς ἰωνικαῖς καὶ τροχαικαῖς πλέον κλᾷ τὸν ῥυθμὸν, ἤπερ ἡ τῶν πλειόνων βραχειῶν ὁμόχρονος συνθήκη· ὁ μὲν γὰρ ἀπὸ μείζονος ἰωνικὸς ἐκ δύο μακρῶν καὶ δύο βραχειῶν συνίσταται, ὁ δὲ ἀπ᾽ ἐλάσσονος ἰωνικὸς ἐκ δύο βραχειῶν καὶ δύο μακρῶν. καὶ γὰρ οὐχ οὕτως τὸ ἐναντίον καθ᾽ ἑαυτό πως ὂν ἐπίδηλόν ἐστιν, ὥσπερ ὅταν ἔχῃ παρακείμενον τὸ ἐναντίον· τὸ γάρ τοι πικρὸν ἢ τὸ μέλαν τοῦ γλυκέος καὶ λευκοῦ παρακειμένου μᾶλλον γνωρίζομεν, εἴπερ, εἰ καθ᾽ ἑαυτὸ ἑκάτερον θεωροῖτο, καὶ τὰς ἰαμβικὰς δὲ μᾶλλον τῶν τροχαικῶν ἐν σεμνῷ λόγῳ ἀποδέχεται, ὡς σεμνοτέραν ἐχούσας τὴν βάσιν ἐκείνων· ἡ γάρ τοι εἰς μακρὰν κα ἐχούσας τὴν βάσιν ἐκείνων· ἡ γάρ τοι εἰς μακρὰν κατάληξις σεμνοτέρα τῆς εἰς βραχεῖαν. [*P.S.*]